λασθέντων εἰς ὑποταγὴν καὶ θέλημα τῆς παλαιᾶς Ῥώμης, ... προσφορὰν δέχεσθαι ἐκ τῶν χειρῶν αὐτῶν, μηδὲ συμψάλλειν αὐτοῖς, ὡς προδόταις τῶν θείων καὶ ἱερῶν κανόνων καὶ τῶν πατροποθήτων ἐθῶν. Πάλιν οὖν τὴν σὴν ἀξιῶ μεγαλειότητα, οἰκτείρησον τὴν ταλαιπωρίαν τῶν Κωνσταντινουπολιτῶν ἱερέων, καὶ δὸς αὐτοῖς ἰδέσθαι φῶς ἐλευθέριον, καὶ ἱλαρῶς ὀφθῆναι τοῖς οἰκείοις πενθοῦσι καὶ κλαίουσιν. Ἡ φυλακὴ διὰ τοὺς κακοποιοὺς ἐπινενόηται, ἀλλ' οὐχὶ διὰ τοὺς ἀγαθοποιούς. Οἱ ἱερεῖς οὗτοι τῶν θείων καὶ ἱερῶν κανόνων ἀντέχονται καὶ ἀσπάζονται. Ὅτι δὲ καὶ αἱ ἅγιαι καὶ οἰκουμενικαὶ Σύνοδοι, αἵτινες ἑπτὰ ἦσαν, τοὺς τότε ἁγιωτάτους ἀρχιερεῖς τῆς πρεσβυτέρας Ῥώμης διὰ τῶν ἰδίων τοποτηρητῶν εἶχον πλησιάζοντας καὶ συμφθεγγομένους καὶ συμπράττοντας καὶ συγκανονίζοντας οὐδεὶς τῶν τὰς θείας ἀναγινωσκόντων Γραφὰς ἠγνόησεν· οἱ δὲ παρὰ τούτων ἐκτεθέντες κανόνες εἰς πέντε πατριαρχεῖα τὸ χριστιανικὸν ἅπαν ἐκεφαλαίωσαν πλήρωμα, καὶ ἑκάστῳ πατριαρχείῳ διαφόρους ἐπαρχίας προσήρμοσαν, καὶ ἀντὶ φραγμῶν φρικώδεις ἀφορισμοὺς περιέθεντο, ἵνα μὴ διὰ φιλαρχίαν καὶ φιλοδοξίαν ὑπερπηδῶσί τινες καὶ τῶν ἀλλοτρίων ἐνοριῶν κατεπεμβαίνουσιν· ὁ γὰρ τοῦτο παρὰ τὴν γνώμην τοῦ ἔχοντος τὴν ἐπισκοπὴν τῆς ἐνορίας ἀποτολμῶν ἀφορισμῷ καθυποβάλλεται, καὶ ἐπιμένων καθαιρεῖται. Καὶ τοῦτο μὲν τοιοῦτον· τὸ δὲ ἕτερον θέλω μὲν εἰπεῖν, φρίττω δὲ καὶ συστέλλομαι. Ποίας γὰρ καταδίκης ἐνόχους ποιοῦσιν αἱ ἅγιαι Σύνοδοι τοὺς ἀποτολμῶντας προσθεῖναί τι ἐν τῷ ἁγίῳ Συμβόλῳ τῆς πίστεως ἢ ἀφαιρεῖν, ὁ ἀναγινώσκων τοὺς θείους καὶ ἱεροὺς κανόνας μαθήσεται. Ταῦτα οὐχ ἱκανὰ ἐκφοβῆσαι τοὺς Γραικοὺς ἱερεῖς καὶ τῆς ὑποταγῆς τῆς λατινικῆς ἐκφεύγειν ὡς φεύγει τις ἀπὸ πυρός; Ὁ γὰρ εἰδὼς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ καὶ μὴ ποιῶν αὐτό, φησί, δαρήσεται πολλά. Θέλημα δὲ τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐστι τὸ φυλάττεσθαι πάντα τὰ παρὰ τῶν ἁγίων καὶ θεοφόρων Πατέ-